Ακαδημία Αθηνών / Academy of Athens

## 3. ΑΦΙΕΡΩΣΙΣ ΤΟΥ Μ. ΦΩΤΕΙΝΟΠΟΥΛΟΥ*

Τῷ Ὑψηλοτάτῳ, Ἐκλαμπροτάτῳ καὶ Εὐσεβεστάτῳ Αὐθέντῃ καὶ Ἡγεμόνι Μεγαλοπρεπεστάτῳ πάσης Οὐγγροβλαχίας Κυρίῳ, Κυρίῳ Ἰωάννῃ Σκαρλάτῳ Γρηγορίου Γκίκα Βοεβόδα, τὴν ὀφειλομένην ἐδαφιαίαν ἀπονέμω προσκύνησιν. Τὸ ρευστὸν καὶ πεποικιλμένον τῆς ἀνθρωπίνης φύσεως καὶ τῆς κατὰ μικρὸν δεόμενον θεραπείας, οὐκ ἂν μᾶλλον εἰς τὸ καλῶς ἔχον ἐπανέλθῃ, εἰ μὴ τὸ κατὰ μέρος ἐπανιστάμενον διαλυθῇ καὶ οὕτως αὐτὸ πρὸς τὸ γαληνόν τε καὶ ἀτάραχον ἀποκατασταθῇ ὅπερ τοῦτο νῦν ἔπελθον εἰς χρείαν τῆς συλλογῆς τῶν πολιτικῶν νόμων κατέστησε τὴν ὑμετέραν ὑψηλότητα ἔργον τῷ ὄντι μακαριστὸν καὶ παντὸς ἐπαίνου ἀνώτερον. Οὐκ ἂν γὰρ δυνήσαιτό τις ἐπαίνοις τοῖς προσήκουσι καὶ ἐγκωμίοις τοῖς προσφυέσιν ἐκθειάσαι αὐτήν, τοιαύτην ἀναφανεῖσαν, τῇ ἀρετῇ ταύτῃ δηλονότι τῆς δικαιοσύνης σεμνυνομένην ἥτινι τὸ θεῖον εἰς τὰ μάλιστα ἐπαναπαύεται· ὅπερ καὶ ἐπαναπαυόμενον, ἑπομένως καὶ τοὺς ταύτην διενεργοῦντας τῆς δεξιᾶς μερίδος τῶν σωζομένων ἀξιοῖ καὶ τῶν ἀνεκλαλήτων ἐκείνων οὐρανίων ἀγαθῶν ἐντρυφᾷν ποιεῖ οὐ μὴν ἀλλὰ καὶ δακτυλοδεικτοῦσθαι ἄντικρυς ἐνταῦθα τούτους ὑπὸ πάντων ποιεῖται, λέγων ἕκαστος, οὗτος αὐτὸς ὁ ἡγεμὼν ἐστιν ὁ τὸν ζυγὸν τῆς δικαιοσύνης ἐν ταῖν χεροῖν ἔχων καὶ ζυγοστατῶν διὰ τῶν νόμων ὡς δι' ἄλλων τινῶν σταθμῶν τὰ δίκαια ἑκάστου καὶ δι' εὐφήμου γλώττης ἄγεσθαι καὶ τὸ ὄνομα αὐτοῦ μέχρι τερμάτων αἰῶνος διαφημίζεσθαι καὶ διὰ παντὸς ἐν τοῖς ζῶσι διατελεῖν καὶ οὔτε τῷ θανάτῳ οὔτε τῇ παρατάσει τοῦ χρόνου σβενῦσθαι. διάτοι τοῦτο καὶ αὖθις καὶ πολλάκις λέγω ὅτι ἀδύνατον διὰ λόγων ρητορικῶν, σοφιστικῶν τε συλλογισμῶν καὶ φιλοσοφικῶν ἀποδείξεων ἀποδειχθῆναι ὁπόσον καὶ ἡλίκον τοῦτο τὸ ἔργον τοῦ ὕψους αὐτῆς ἅτε ἐγχείρημα ὂν ὑπερβαῖνον πᾶν εἶδος ἐπαίνου καὶ ἑπομένως ὡς εἰς ἄλλόν τινα εὔδιον λιμένα

---

* Ἀνέκδοτον χειρόγραφον ἐκδιδόμενον ἐπὶ τῇ βάσει τῶν χειρογράφων τῆς Ρουμανικῆς Ἀκαδημίας, Ms. gr. 131 f°3-3v, 378 p. 10 - 12 καὶ 987 f° 4-4v.

Ἡ μεταγραφὴ τοῦ κειμένου ἐκ τῶν κωδίκων ἐγένετο ὑπὸ τῆς Emanuela Popescu, τὸ δὲ κριτικὸν ὑπόμνημα συνετάγη ὑπὸ Valentin Al. Georgesco.

---

11. Sic: 378; 987 - ᾗ τινι 131.

15. τούτους ] τοὺς τούτος 131.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

τῆς σιωπῆς καταφεύγων, ἀφίημι τοῖς σοφοῖς καὶ εὔροιαν λόγου κεκτημένοις τὰ καθήκοντα εἰπεῖν. ὁ δοῦλος δὲ αὐτῆς οὐδόλως ἀποκνήσας εἰς τὴν πανέκλαμπρον αὐτῆς καὶ θείου ζήλου ὅλως πνεύουσαν προσταγὴν καί τοι τὸ ἐγχείρημα μέγιστον καὶ ὑπὲρ τὴν ἐμὴν δύναμιν ὁρῶν καὶ ὅλως δηλίου κολυμβιτοῦ δεόμενον καὶ μηδαμῶς ἀποναρκήσας ἐπὶ τούτῳ, οὔτε τὴν ἐμὴν ἀμάθειαν ζυγοσταθμήσας, τολμητίας ἔγνων μᾶλλον γενέσθαι ἢ τοιαύτης προσταγῆς ἀμελῆσαι πρὸς κοινήν μεν ὠφέλειαν τοῦ εὐσεβοῦς συστήματος ἀφορώσης, ἀοίδιον δὲ εὔκλειαν καὶ ἀθάνατον ὄνομα αὐτῆς. καὶ δὴ κατὰ τὸ ἐνὸν συλλέξας ἐκ πάντων τῶν νομίμων πολιτικῶν τε καὶ ἐκκλησιαστικῶν τοὺς ἐν τοῖς παροῦσι καιροῖς τῆς δυστυχοῦς τῶν καθ' ἡμᾶς καταστάσεως συμβάλλοντας νόμους καὶ κατὰ τὸ νόημα καὶ τὴν θέλησιν τῶν ἀοιδίμων ἐκείνων νομοθετῶν διερμηνεύσας σαφεῖ τινι διαλέκτῳ συνέγραψα τὸ παρὸν σύνταγμα ἐν τρισὶ βιβλίοις διῃρημένον, ὅπερ καὶ προσφέρων τῷ ὕψει αὐτῆς ἐκλιπαρῶ δεχθῆναι αὐτὸ εὐμενῶς. ζώῃ δὲ ἐπιμήκιστον ἡ ὑψηλότης αὐτῆς ἀστεμφῶς ἐπὶ τοῦ ἡγεμονικοῦ αὐτῆς θρόνου ἐνιδρυμένη, εὐφραινομένη τε ἐπὶ τοῖς ἐκλάμπροις αὐτῆς βλαστοῖς καὶ ὑπερανέχουσα πάντων μέχρι γήρως λιπαροῦ. ἀμήν.

Τῆς ὑμετέρας ὑψηλότητος αψξζω κατα μῆνα μάρτιον δοῦλος εὐτελέστατος Μιχαὴλ Παχάρνικος ὁ ἐκ Χίου

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

---

29. ἔγνων ] 987: posterius inter lineas scriptum.

30-31. τοῦ... εὔκλειαν ] 987: in margine certo signo posterius adscripta.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ